*κατὰ πρεσβείαν οὓς αὐτὸς ἄναξ*
*Ξέρξης βασιλεὺς Δαρειογενὴς*
*εἵλετο χώρας ἐφορεύειν.*
*ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ*
*καὶ πολυχρύσου στρατιᾶς ἤδη*
*κακόμαντις ἄγαν ὀρσολοπεῖται*
*θυμὸς ἔσωθεν.*
*πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς*
*οἴχωκε, νέον δ᾽ ἄνδρα βαΰζει.*
*κοὔτε τις ἄγγελος οὔτε τις ἱππεὺς*
*ἄστυ τὸ Περσῶν ἀφικνεῖται·*
*οἵτε τὸ Σούσων ἠδ᾽ Ἐκβατάνων*
*καὶ τὸ παλαιὸν Κίσσιον ἕρκος*
*προλιπόντες ἔβαν,*
*οἱ μὲν ἐφ᾽ ἵππων, οἱ δ᾽ ἐπὶ ναῶν,*
*πεζοί τε βάδην*
*πολέμου στῖφος παρέχοντες·*
*οἷος Ἀμίστρης ἠδ᾽ Ἀρταφρένης,*
*καὶ Μεγαβάτης, ἠδ᾽ Ἀστάσπης,*
*ταγοὶ Περσῶν,*

11. *θυμός, ἔσωθεν δὲ βαΰζει* 13. *οἴχωκε νέων*, reliquis omissis

---

5. *κατὰ πρεσβείαν: κατὰ τιμὴν αἱρεθέντες. οὓς αὐτὸς ἄναξ: οὓς αὐτὸς ὁ Ξέρξης κατέλιπεν κατὰ τιμήν.* 6. *Δαρειογενής: Δαρείου υἱός. καὶ μὴν Δαρεῖοι τρεῖς. τούτων δὲ πρῶτος ὁ Ὑστάσπου, προκριθεὶς δὲ ὑπὸ τῶν Περσῶν καὶ βασιλεύσας, Ξέρξου πατὴρ τοῦ στρατεύσαντος ἐπὶ τοὺς Ἕλληνας. δεύτερος δὲ Δαρεῖος ὁ Ἀρταξέρξου νόθος προσαγορευθείς. ἔσχατος Δαρεῖος ὁ ὑπὸ Ἀλεξάνδρου τοῦ Φιλίππου ἀναιρεθείς. τινὲς δὲ καὶ τέταρτον Δαρεῖον γράφουσιν.* 7. *ἐφορεύειν] ἄρχειν, ἐπόπτας εἶναι.* 8. *τῷ βασιλείῳ: τῷ Ξέρξου. Ὁμηρικῶς δὲ πρῶτον τὸν βασιλέα, εἶτα τοὺς ὑπηκόους. ‚Ἀτρεῖδαί τε καὶ ἄλλοι'* (Hom. Il. *ά*, 17). 10. *ὀρσολοπεῖται] διαπολεμεῖται, ταράσσεται, θορυβεῖται.* 13. *οἴχωκε: ἀπόλωλε γὰρ ἡ πᾶσα δύναμις τῶν Περσῶν.* 16. *ἠδ᾽ Ἐκβατάνων: ὅτι Ἀκεσσαία πρότερον ἐκαλεῖτο ἀπὸ Ἀκεσσαίου τὰ νῦν Ἐκβάτανα καλούμενα.* 17. *Κίσσιον ἕρκος] πόλις Περσῶν τὸ Κίσσινον.* 20. *στῖφος] τὸ πύκνωμα. παρέχοντες] ὄντες· ἢ τὸ πολέμου ἀντὶ τοῦ πολέμῳ.* 21. *Ἀρταφρένης] ὑπέρθεσις διὰ τὸ μέτρον.*